ἠίθεον φλέξας καὶ παρθένον· οὔνομα δ' αὐτῶν
ἱμερόεις τε Λέανδρος ἔην καὶ παρθένος Ἡρώ.
ἡ μὲν Σηστὸν ἔναιεν, ὁ δὲ πτολίεθρον Ἀβύδου,
ἀμφοτέρων πολίων περικαλλέες ἀστέρες ἄμφω,
ἴκελοι ἀλλήλοισι. σὺ δ' εἴ ποτε κεῖθι περήσεις,
δίζεό μοί τινα πύργον, ὅπῃ ποτὲ Σηστιὰς Ἡρὼ
ἵστατο, λύχνον ἔχουσα, καὶ ἡγεμόνευε Λεάνδρῳ
δίζεο δ' ἀρχαίης ἁλιηχέα πορθμὸν Ἀβύδου,
εἰσέτι που κλαίοντα μόρον καὶ ἔρωτα Λεάνδρου.

ἀλλὰ πόθεν Λείανδρος Ἀβυδόθι δώματα ναίων
Ἡροῦς ἐς πόθον ἦλθε, πόθῳ δ' ἐνέδησε καὶ αὐτήν;

Ἡρὼ μὲν χαρίεσσα, διοτρεφὲς αἷμα λαχοῦσα,
Κύπριδος ἦν ἱέρεια, γάμων δ' ἀδίδακτος ἐοῦσα
πύργον ἀπὸ προγόνων παρὰ γείτονι ναῖε θαλάσσῃ,
ἄλλη Κύπρις ἄνασσα· σαοφροσύνῃ δὲ καὶ αἰδοῖ
οὐδέποτ' ἀγρομένῃσι συνωμίλησε γυναιξὶν
οὐδὲ χορὸν χαρίεντα μετήλυθεν ἥλικος ἥβης,
μῶμον ἀλευομένη ζηλήμονα θηλυτεράων —
καὶ γὰρ ἐπ' ἀγλαΐῃ ζηλήμονές εἰσι γυναῖκες —,
ἀλλ' αἰεὶ Κυθέρειαν ἱλασσομένη μετ' Ἀθήνην
πολλάκι καὶ τὸν Ἔρωτα παρηγορέεσκε θυηλαῖς
μητρὶ σὺν οὐρανίῃ, φλογερὴν τρομέουσα φαρέτρην.
ἀλλ' οὐδ' ὣς ἀλέεινε πυριπνείοντας ὀιστούς.

δὴ γὰρ Κυπριδίη πανδήμιος ἦλθεν ἑορτή,